Σχόλια. Αγε δὴ σύ καὶ σύ.] πρὸς τὸν Εὐελπίδην φησὶν ὁ Εποψ. ἄμεινον δὲ πρὸς τοὺς θεράποντας ὡς ἐν τοῖς ἑξῆς. ἄγε δὴ, Ξανθία καὶ Μανόδωρε. εἴσθεσις δ᾽ ἑτέρας περιόδου στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ιζ. ὧν ἐπὶ τῷ τέλει παράγραφος. Εἰς τὸν ἰπνὸν εἴσω πλησίον.] ἰπνὸς μὲν, ἡ κάμινος. καταχρηστικῶς δὲ, ἡ ἐσχάρα. ἐπιστάτη δὲ θηλυκῶς χαλκοῦς τρίπους χυτρόποδος ἐκτελῶν χρείαν. οἱ δὲ πήλινον Ηφαιστον πρὸς ταῖς ἑστίαις ἱδρυμένον ὡς ἔφορον τοῦ πυρός. ἔνιοι δὲ καὶ ξύλον

A ἐπιμήκες πεπασσαλωμένον, ὅθεν ἐξαρτῶσι τὰ μαγειρικὰ σκεύη. Καλλίστρατος ἐπιστάτην τὸ, τῇ ἐσχάρᾳ ἐπιτιθέμενον ξύλον. ἐν ταῖς ἐσχάραις ὥσπερ ἐν ταῖς καμίνοις τὸν Ηφαιστον ἀναπλάττουσιν. ἄλλως. ὁ ἐπιστάτης, ξύλον ἐστὶ κόρακας ἔχον. ἐξ οὗ κρεμῶσι τὰ μαγειρικὰ ἐργαλεῖα. οἱ δὲ, τρίποδα χαλκοῦν, ᾧ ἐπιτιθέασι λέβητα ὑποκαιόμενον. οἱ δὲ, ἀνδριάντα πήλινον πρὸς ταῖς ἐσχάραις. Σὺ δὲ τούσδ᾽ ἐφ᾽ οἷς.] σὺ τοὺς λόγους δίδαξον καὶ φράζε B ἐφ᾽ οἷς τούτους ἤγειρα ἐγώ. τοῦτο δὲ πρὸς τὸν ἕτερον τοῖν ἀνδροῖν.

Ηνπερ ὁ Πίθηκος τῇ γυναικὶ διέθετο,
Ο μαχαιροποιὸς, μήτε δάκνειν τούτοις ἐμὲ,
Μήτ᾽ ὀρχίπεδ᾽ ἕλκειν, μήτ᾽ ὀρύττειν. Χο. οὔτι που
Τόν, οὐδαμῶς. Πι. οὐκ, ἀλλὰ τὼ φθαλμὼ λέγω.
Χο. Διατίθεμ᾽ ἔγωγε. Πι. κατόμοσόν νυν ταῦτά μοι.
Χο. Ομνυμ᾽ ἐπὶ τούτοις πᾶσι νικᾶν τοῖς κριταῖς.
Καὶ τοῖς θεαταῖς πᾶσιν. Πι. ἔσται ταυταγί.
Χο. Εἰ δὲ παραβαίην, ἑνὶ κριτῇ νικᾶν μόνον.
Πι. Ακούετε λεῴ. τοὺς ὁπλίτας νυνμενὶ
Ανελομένους θ᾽ ὅπλ᾽ ἀπιέναι πάλιν οἴκαδε,
Σκοπεῖν δ᾽ ὅ, τι ἂν προγράφωμεν ἐν τοῖς πινακίοις.

*Quod Pithecus vxori disposuit,*
*Gladiorum factor, neque mordere hos me,*
*Neque testiculos trahere, neque fodere. CHO. non quid*
*Hunc nullo modo. PI. non, sed oculos dico.*
*CH. Dispono ego. PI. iura nunc hæc mihi.*
C *CH. Iuro in his omnibus vincere iudicibus,*
*Et spectatoribus omnibus. PI. erunt hæc.*
*CH. Si autem transgrediar vno iudice vincere solum.*
*PI. Audite populi, hos armatos nunc quidem,*
*Capientésque arma abire retro domum,*
*Considerare autem quod præscribimus in tabellis.*

Σχόλια. Ηνπερ ὁ πίθηκος τῇ γυναικὶ διέθετο.] Σύμμαχος Αἰσωπείου λόγου ἢ τοιούτου τινὸς ἔοικε μεμνῆσθαι. Καλλίστρατος δὲ, τοιοῦτόν φησιν, ἐκ διηγηματίου τινὸς εἱλκύσθαι. καὶ Δίδυμος, ὅτι αἰσχρός τις τὴν ὄψιν συνεχῶς τῇ γυναικὶ πλησιαζόμενος, συνέθετο ἐπὶ φίλων, μήτε τύπτειν, μήτε τύπτεσθαι, μήτε δάκνειν φιλοῦντα, μήτε δάκνεσθαι. ὅτι σὺ μὲν οὐχ ἑλκύσεις τῶν ὀρχιπέδων, οὐδὲ ἐγὼ τῶν τριχῶν. ἔοικε δὲ Παναίτιον κωμῳδεῖν, ὃν καὶ ἐν νήσοις. καταλιπὼν Παναίτιον πίθηκον. ἔνθα καὶ μαγείρου πατρὸς αὐτὸν λέγει. πίθηκον δὲ αὐτὸν εἶπε διὰ τὸ πανοῦργον. Ο μαχαιροποιός.] ὁ Παναίτιος μάγειρος καὶ μικροφυὴς ἦν. διαβάλλει δὲ αὐτὸν, ὡς καταλαβόντα τὴν γυναῖκα ἑαυτοῦ μοιχευομένην. ἐδυνάστευε γὰρ ὑπ᾽ αὐτῆς μεγάλης οὔσης μικροφυὴς αὐτὸς ὤν. Μήτ᾽ ὀρχίπεδ᾽ ἕλκειν.] μὴ διασπᾶν τοὺς ὄρχεις, μὴ ὀρύττειν τὸν πρωκτὸν δεικνύς φησιν. οὔτι που τόν. τὸν ἀντὶ τοῦ. τοῦτον τὸν πρωκτὸν οὐδαμῶς ὀρύττειν. Διατίθεμ᾽ ἐγώ.] ὑπισχνοῦμαι. συντίθεμαι. Ομνυμ᾽ ἐπὶ τούτοις πᾶσιν.] ἀντὶ τοῦ

D εὔχομαι· οὐκ ὄμνυσι γὰρ, ἀλλ᾽ εὔχεται. ὄμνυμι μὲν εἶναι ἐν τούτοις. χαριέντως δὲ εὐχόμενος ὑπὲρ τῆς νίκης, ὄμνυμί φησι τὸ νικᾶν. ἄλλως. ἐκεῖνον οἱ κριταὶ τοὺς κωμικούς. οἱ δὲ λαμβάνοντες τὰς ψήφους εὐδαιμονοῦσιν. Εσται ταυταγί.] ἐπειδὴ περὶ νίκης εὔχεται, ποιεῖ αὐτὸν ὁ ποιητὴς εὐφημοῦντα ἔσται ταυταγί. Εἰ δὲ παραβαίην.] πιθανῶς ὡς ἔλαττόν τι ἕξων εἰ μὴ πᾶσι νικώῃ. ἐποιωνιζόμενος δὲ αὐτῷ τὴν νίκην, ταῦτα λέγει. Ακούετε λεῴ.] κήρυξ ἐστὶν ὁ Πεισθέταιρος. ὁ λόγος ὡς ἐπὶ πολεμίων ἀπειργμένων. κήρυγμα εἰρήνης κηρύσσει. παίζει τοὺς χυτροφόρους ὁπλίτας φάσκων. τὸ δὲ νυνμενὶ, ἀντὶ τοῦ νῦν μέν. πολλαχοῦ δὲ τούτῳ χρῶνται. Οτι ἂν προγράφωμεν.] ἡ μεταφορὰ, E ἀπὸ τῶν φυλετῶν οἵτινες προγράφουσι τοὺς στρατευσίμους, ἐν πίνακι. Εν τοῖς πινακίοις.] ἐπεὶ ἔθος ἦν τοὺς ταξιάρχους διὰ κήρυκος ἀπαγγέλλειν τοῖς ἑαυτῶν στρατιώταις τὰ δεδογμένα. ὅτι ποῖ δεῖ πορεύεσθαι. καὶ πόσων ἡμερῶν δεῖ σιτία προνοεῖσθαι.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ ιά.

Χο. Δολερὸν μὲν ἀεὶ κατὰ πάντα δὴ τρόπον
Πέφυκεν ἄνθρωπος. σὺ δ᾽ ὅμως λέγε μοι.
Τάχα γὰρ τύχοις ἂν
Χρηστὸν ἐξειπὼν ὅτι μοι παρορᾷς, ἢ
Δύναμίν τινα μείζω
Παραλειπομένην ὑπ᾽ ἐμῆς φρενὸς
Αξύνετου. σὺ δὲ τοῦθ᾽ ὁρᾷς. λέγ᾽ εἰς κοινόν.
Ο γὰρ ἂν σὺ τύχῃς μοι
Αγαθὸν πορίσας, τοῦτο κοινὸν ἔσται.
Αλλ᾽ ἐφ᾽ ὅτῳπερ ἂν ἥκεις τὴν σὴν πρᾶγμα γνώμην ἀναπείσας

F VERSIO MEMBRORUM vndecim.

*CH. Dolosum quidem semper secundum omnem iam modum*
*Natus est homo. tu autem tamen dic mihi*
*(Cito enim adipisceris*
*Bonum edicens) quod mihi admones, vel*
*Potentiam aliquam maiorem,*
G *Derelictam à mea mente*
*Ignara: tu autem hoc vides, dic in commune.*
*Quod enim tu adipisceris mihi*
*Bonum præbens, hoc commune erit.*
*Sed in quo venis tuam re sententiam persuadens,*

Σχόλια.